# DIOSCORIDIS LIBRI OCTO GRAECE ET LATINE.

Castigationes in eosdem libros.




PARISIIS,

Impensis viduæ Arnoldi Birkmanni.

1549

Cum priuilegio Regis, ad sexennium.

Universitäts- und Landesbibliothek Düsseldorf

urn:nbn:de:hbz:061:2-194136-p0005-1

DFG

## Ἐκ τοῦ Γαληνοῦ ἐν τῷ περὶ ἁπλῶν φαρμάκων δυνάμεως.

Ὁ δὲ ἀναζαρβεὺς Διοσκορίδης ἐν ἢ βιβλίοις τὴν χρήσιμον ἅπασαν ὕλην ἔγραψεν οὐ βοτανῶν μόνον, ἀλλὰ καὶ δένδρων, καὶ καρπῶν καὶ χυλῶν καὶ ὀπῶν· ἔτι τε τῶν μεταλλευομένων ἁπάντων, καὶ τῶν ἐν τοῖς ζώοις μορίων μνημονεύσας· καὶ μοι δοκεῖ τελεωτάτην πάντων οὗτος τὴν περὶ τῆς ὕλης τῶν φαρμάκων πραγματείαν ποιήσασθαι. πολλὰ μὲν γὰρ τοῖς ἔμπροσθεν ὑπὲρ αὐτῶν γέγραπται καλῶς, ἀλλ᾽ ὑπὲρ ἁπάντων οὕτως οὐδενί.

## Ἐκ τοῦ Ὀρειβασίου ἐν τῷ ιέ τῶν ἰατρικῶν συναγωγῶν.

Ἡ γνῶσις τῶν ἁπλῶν φαρμάκων καὶ τῶν ἐν αὐτοῖς δυνάμεων οὕτως ἀναγκαιοτάτη καθέστηκεν, ὡς μὴ δ᾽ οἷόν τε εἶναι χωρὶς ταύτης ἰατρεύειν ὀρθῶς. ἅμα τε γὰρ εὐπορίας τ᾽ ἐστὶ καὶ κατὰ πᾶσαν καιρῶν περίστασιν εὐχερῶς εὑρισκόμενα, καὶ εἰς τὰς ἐπικρίσεις τῶν συνθέτων δυνάμεων εὔχρηστον ἡ γνῶσις. ἔτι δ᾽ εἰς τὰς εὑρέσεις αὐτῶν· καθόλου τὸ τεχνικὸν ἐπιφαίνει παρὰ πᾶσιν ἡ τούτου εἴδησις.

## Περὶ τοιούτου Διοσκορίδους ὥς τινὲς ὑπολαμβάνουσι.

## Ἐκ τῶν Σουΐδα.

Διοσκορίδης ἀναζαρβεὺς ἰατρὸς ὁ ἐπικληθεὶς φακᾶς, διὰ τοὺς ἐπὶ τῆς ὄψεως φακούς. συνῆν δὲ Κλεοπάτρᾳ ἐπὶ Ἀντωνίου, καὶ γέγραπται αὐτῷ βιβλία κδ΄. τὰ πάντα ἰατρικὰ περιβόητα.

Universitäts- und Landesbibliothek Düsseldorf
urn:nbn:de:hbz:061:2-194136-p0006-7
DFG